Με αυτά τα χρώματα τοῦ ΙΕΡΕΩΣ και ΔΙΑΚΟΝΟΥ.
Με αυτά τα χρώματα τοῦ ΧΟΡΟΥ και ΑΝΑΓΝΩΣΤΟΥ
Με αυτά τα χρώματα οι Τίτλοι, οδηγίες,
πληροφορίες, τυπικό.
Τα ηχητικά κουμπιά αποκρύβονται από το
μεγάφωνο της εργαλειοθήκης και τα μουσικά
από το μουσικό κουμπί.
Ήχος εβδομάδος δ΄.

**† Η ΚΑΤΑ ΣΑΡΚΑ ΓΕΝΝΗΣΙΣ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ**

[Εάν γίνεται αγρυπνία και ο Όρθρος είναι συνημένος στον προηγηθέντα Εσπερινό, πήγαινε κατευθείαν στο Δόξα ἐν ὑψίστοις Θεῷ και τον Εξάψαλμο]

ΟΡΘΡΟΣ

ὁ Ἱερεὺς ἐκφωνεῖ·
Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νύν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ:
Ἀμήν.
ΙΕΡΕΥΣ
Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρός τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.
ΑΝΑΓΝΩΣΤΗΣ:

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος
ἐλέησον ἡμᾶς (ἐκ τρίτου).
Δόξα... Καὶ νῦν...
Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι
ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον
τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι
τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον (τρίς)
Δ όξα... Καὶ νῦν...
Π άτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω
τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω
τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς
ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς
ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
ΙΕΡΕΥΣ
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...
ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.
Τροπάρια
Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν
κληρονομίαν σου, νίκας τοὶς βασιλεύσι, κατὰ
βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων,
διὰ τοῦ Σταυροῦ σου πολίτευμα.
Δόξα...
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τὴ ἐπωνύμω
σου καινὴ πολιτεία, τοὺς οἰκτιρμούς σου δώρησαι,
Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου,
τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς,

κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,
ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.
Καὶ νύν...
Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδης,
ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε,
στήριξον ὀρθοδόξων πολιτείαν, σῶζε οὓς ἐκέλευσας
βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην,
διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

ΙΕΡΕΥΣ:

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου,
δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον. (γ')

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ
ὀρθοδόξων Χριστιανῶν.

Κύριε, ἐλέησον. (γ')

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου
ἡμῶν..., καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον. (γ')

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις,
καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ
τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ:

Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ:

Δόξα τὴ ἁγία καὶ ὁμοουσίω, καὶ ζωοποιῶ καὶ
ἀδιαιρέτω Τριάδι, πάντοτε, νύν, καὶ ἀεί, καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ:
Ἀμήν.
Καὶ ἀρχόμεθα τοῦ Ἑξαψάλμου, ἄνευ μετανοιῶν,
πάσῃ σιωπῇ καὶ κατανύξει ἀκροώμενοι.
Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη,
ἐν ἀνθρώποις εὐδοκία. (ἐκ γ')
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου
ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)
Και διαβάζει τον εξάψαλμο

## ΨΑΛΜΟΣ 3

Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ
ἐπανίστανται ἐπ᾿ ἐμέ· πολλοὶ λέγουσι τῇ ψυχῇ μου·
οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δέ,
Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν
κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα,
καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ
ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος
ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων
λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα,
Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας
πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας
ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία,
καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.
Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα ἐξηγέρθην ὅτι
κύριος ἀντιλήμψεταί μου.

## ΨΑΛΜΟΣ 37

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ
σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι,
καὶ ἐπεστήριξας ἐπ᾿ ἐμὲ τὴν χεῖρά σου· οὐκ ἔστιν

ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου· ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν· καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ· καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου. Ὅτι εἶπα· μήποτε ἐπιχαρῶσί μοι

οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου
ἐπ᾽ ἐμὲ ἐμεγαλοῤῥημόνησαν. Ὅτι ἐγὼ
εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου
ἐνώπιόν μού ἐστι διαπαντός. Ὅτι τὴν ἀνομίαν μου
ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ,
καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως·
οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν
ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου,
μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ· πρόσχες εἰς
τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.
Μὴ ἐγκαταλίπης μὲ κύριε ὁ Θεός μου
μὴ ἀποστὴς ἀπ' ἐμοῦ
Πρόσχες εἰς τὴν βοήθειάν μου κύριε
τῆς σωτηρίας μου

## ΨΑΛΜΟΣ 62

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω· ἐδίψησέ σε
ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ
καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην
σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς·
τὰ χείλη μου ἐπαινέσουσί σε. Οὕτως εὐλογήσω σε
ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ
τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ πιότητος
ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως
αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου
ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις
ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου,

καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ
δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην
ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται
εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται
εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ,
ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ,
ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.
Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ ὅτι ἐγενήθης
βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Δόξα... Καὶ νύν...
Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα,
Δόξα σοὶ ὁ Θεὸς
Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Δόξα... Καὶ νύν...

## ΨΑΛΜΟΣ 87

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα
καὶ ἐν νυκτὶ ἐναντίον σου· εἰσελθέτω ἐνώπιόν σου
ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου
τῷ ᾅδῃ ἤγγισε· προσελογίσθην μετὰ
τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην
ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος,
ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν
οὐκ ἐμνήσθης ἔτι καὶ αὐτοὶ ἐκ τῆς χειρός σου
ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ,
ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Ἐπ᾽ ἐμὲ

ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς
μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ. Ἐμάκρυνας
τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ, ἔθεντό
με βδέλυγμα ἑαυτοῖς, παρεδόθην καὶ
οὐκ ἐξεπορευόμην. Οἱ ὀφθαλμοί μου ἠσθένησαν
ἀπὸ πτωχείας· ἐκέκραξα πρὸς σέ, Κύριε,
ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου·
μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια;
ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου
καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται
ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου
ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς σέ, Κύριε,
ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
Ἱνατί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις
τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ; Πτωχός εἰμι ἐγὼ καὶ
ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην
καὶ ἐξηπορήθην. Ἐπ᾿ ἐμὲ διῆλθον αἱ ὀργαί σου,
οἱ φοβερισμοί σου ἐξετάραξάν με, ἐκύκλωσάν
με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾿ ἐμοῦ φίλον καὶ πλησίον καὶ
τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.
Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου ἡμέρας ἐκέκραξα
καὶ ἐν νυκτὶ ἐναντίον σου
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου κλῖνον
τὸ οὖς σου εἰς τὴν δέησίν μου

## ΨΑΛΜΟΣ 102

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον καί, πάντα τὰ ἐντός μου,
τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου,

τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας
τὰς ἀνταποδόσεις αὐτοῦ· τὸν εὐιλατεύοντα
πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας
τὰς νόσους σου· τὸν λυτρούμενον ἐκ φθορᾶς
τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει
καὶ οἰκτιρμοῖς· τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς
τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται
ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας
ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ,
τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος
καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται,
οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ· οὐ κατὰ τὰς ἀνομίας
ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν
ἀνταπέδωκεν ἡμῖν, ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ
ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ
ἐπὶ τοὺς φοβουμένους αὐτόν· καθόσον ἀπέχουσιν
ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν
τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς,
ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν,
ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη
ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος, ὡσεὶ χόρτος
αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ,
οὕτως ἐξανθήσει· ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ,
καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι
τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου
ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος
ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ ἡ δικαιοσύνη

αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι
τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις
τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ,
καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ,
δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ
ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ,
λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ·
εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ,
ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ·
εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.
Ἐν παντὶ τόπω τῆς δεσποτείας αὐτοῦ
εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

## ΨΑΛΜΟΣ 142

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου,
ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου,
εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου,
ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου,
ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ
με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν
ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι
τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου
ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε

τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου
ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν
εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου,
ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν,
ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου·
ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς
σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου,
ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν
ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου,
Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις
ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου
ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς
πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου,
ὅτι ἐγὼ δοῦλός σού εἰμι.
Εἰσάκουσον μου, Κύριε, ἐν τῇ δικαιοσύνη σου,
καὶ μὴ εισέλθης εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)
Τὸ πνεύμά σου τὸ ἀγαθὸν ὁδηγήσει μὲ ἐν γῇ εὐθεῖᾳ
Δόξα... Καὶ νύν...
Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.
Δόξα σοὶ ὁ Θεός (ἐκ γ').
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοί.

ΔΙΑΚΟΝΟΣ

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς
σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου,

εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν,
καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως,
εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ,
τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν,
τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν ...,
τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας,
παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς
καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν
καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τῆς πόλεως (Μονής, Κώμης) ταύτης,
πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων
ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας
τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν,
τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων,
καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν,
τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως,
ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς,
ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης,
ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου
Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες,
ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν,
Χριστῷ τῷ Θεῷ παραθώμεθα.
ΧΟΡΟΣ:
Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις,
τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ:
Ἀμήν.

ψάλλομεν τετράκις με στίχους το
Ἦχος δ´
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος
ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...
Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με,

καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...
Στίχ. γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη,
καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον Ἦχος δ'

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν,
ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως·
ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες,
ὑπὸ ἀστέρος ἐδιδάσκοντο· σὲ προσκυνεῖν,
τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν
ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.

το αυτό

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν,
ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως·
ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες,
ὑπὸ ἀστέρος ἐδιδάσκοντο· σὲ προσκυνεῖν,
τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν
ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.

το αυτό

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν,
ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως·
ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες,
ὑπὸ ἀστέρος ἐδιδάσκοντο· σὲ προσκυνεῖν,
τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν
ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.

ΔΙΑΚΟΝΟΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς,
ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης,
ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ
ἀειπαρθένου Μαρίας, μετὰ πάντων
τῶν Ἁγίων μνημονεύσαντες,
ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν
τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι σὸν τὸ κράτος καί σοῦ ἐστιν ἡ βασιλεία
καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί
τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ:

Ἀμήν.

Μετὰ τὴν α΄ Στιχολογίαν

Κάθισμα Ἦχος δ'

Κατεπλάγη Ἰωσὴφ.

Δεῦτε ἴδωμεν πιστοί, ποῦ ἐγεννήθη ὁ Χριστός,
ἀκολουθήσωμεν λοιπὸν ἔνθα ὁδεύει ὁ ἀστήρ,
μετὰ τῶν Μάγων Ἀνατολῆς τῶν Βασιλέων.
Ἄγγελοι ὑμνοῦσιν, ἀκαταπαύστως ἐκεῖ.
Ποιμένες ἀγραυλοῦσιν, ᾠδὴν ἐπάξιον. Δόξα
ἐν ὑψίστοις λέγοντες, τῷ σήμερον ἐν Σπηλαίῳ
τεχθέντι, ἐκ τῆς Παρθένου, καὶ Θεοτόκου,
ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Δόξα... Καὶ νῦν... το αυτό
Μετὰ τὴν β΄ Στιχολογίαν
ὅμοιον.
Τὶ θαυμάζεις Μαριάμ; τὶ ἐκθαμβεῖσαι τῷ ἐν σοὶ;
Ὅτι ἄχρονον Υἱόν, χρόνῳ ἐγέννησα φησί,
τοῦ τικτομένου τὴν σύλληψιν μὴ διδαχθεῖσα.
Ἄνανδρος εἰμί, καὶ πῶς τέξω Υἱόν; ἄσπορον γονὴν
τὶς ἑώρακεν; ὅπου Θεὸς δὲ βούλεται, νικᾶται φύσεως τάξις,
ὡς γέγραπται. Χριστὸς ἐτέχθη, ἐκ τῆς Παρθένου,
ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.
Δόξα... Καὶ νῦν... το αυτό
Μετὰ τὸν Πολυέλεον
ὅμοιον.
Ὁ ἀχώρητος παντί, πῶς ἐχωρήθη ἐν γαστρὶ;
ὁ ἐν κόλποις τοῦ Πατρός, πῶς ἐν ἀγκάλαις τῆς Μητρός;
πάντως ὡς οἶδεν ὡς ἠθέλησε καὶ ὡς ηὐδόκησεν·
ἄσαρκος γὰρ ὢν, ἐσαρκώθη ἑκών· καὶ γέγονεν
ὁ Ὢν ὃ οὐκ ἦν δι' ἡμᾶς· καὶ μὴ ἐκστὰς τῆς φύσεως,
μετέσχε τοῦ ἡμετέρου φυράματος. Διπλοῦς ἐτέχθη,
Χριστὸς τὸν ἄνω, κόσμον θέλων ἀναπληρῶσαι.
Δόξα... Καὶ νῦν... το αυτό
Ἀναβαθμοί τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη,
ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)
Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου·
ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)
Δόξα...
Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται,

καὶ καθάρσει ὑψοῦται λαμπρύνεται,
τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.
Καὶ νῦν...
Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα,
ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.
Προκείμενον Ἦχος δ'
Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε,
ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.(δίς)
Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου
ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου.
Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε,
ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.
ΔΙΑΚΟΝΟΣ
Τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον.
ΙΕΡΕΥΣ
Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις
ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν,
τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ:
Ἀμήν.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον (ἐκ β').
Στίχ.Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ,
αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ·
Αἰνεσάτω πνοὴ, πᾶσα τὸν Κύριον.

ΔΙΑΚΟΝΟΣ

Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς
ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν
ἡμῶν ἱκετεύσωμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον (γ').

ΔΙΑΚΟΝΟΣ:

Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

ΙΕΡΕΥΣ

Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατά Ματθαῖου ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

ΔΙΑΚΟΝΟΣ

Πρόσχωμεν.

ΧΟΡΟΣ:

Δόξα σοί, Κύριε, δόξα σοί.

Κεφ. 1:18-25

Τοῦ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις οὕτως ἦν.
Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας
τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη
ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου. Ἰωσὴφ
δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν
παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν.
Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ Ἄγγελος Κυρίου
κατ᾽ ὄναρ ἐφάνη αὐτῷ, λέγων· Ἰωσὴφ, υἱὸς Δαυΐδ,
μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκα σου·
τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου.
Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν·
αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.
Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ρηθὲν

ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος·
Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν,
καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ ᾿Εμμανουήλ· ὅ ἐστι
μεθερμηνευόμενον, Μεθ᾿ ἡμῶν ὁ Θεός. Διεγερθεὶς
δὲ ὁ ᾿Ιωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξ
εν αὐτῷ ὁ Ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα
αὐτοῦ, καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε
τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον· καὶ ἐκάλεσε
τὸ ὄνομα αὐτοῦ ᾿Ιησοῦν.

ΧΟΡΟΣ:

Δόξα σοί, Κύριε, δόξα σοί.

ο Ν΄ Ψαλμός χύμα.

## Ν' ΨΑΛΜΟΣ

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου
ἐξάλειψον τὸ ἀνόμημά μου·
ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ
ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου
ἐνώπιόν μού ἐστι διαπαντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου
ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου,
καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις
ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ
τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι,
πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην,
ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ
τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ
πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ
τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου
καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς
ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς
σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου
τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου
ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν·
ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον,
καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην
ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών,
καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ·
τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
ἀναφορὰν καὶ ὁλοκαυτώματα·
τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.
Τα επόμενα ψαλτά
Δόξα... Ἦχος β΄

Τὰ σύμπαντα σήμερον, χαρᾶς πληροῦνται.

Χριστὸς ἐτέχθη ἐκ τῆς Παρθένου.

Καὶ νῦν... Τὸ αὐτό.

Τὰ σύμπαντα σήμερον, χαρᾶς πληροῦνται.

Χριστὸς ἐτέχθη ἐκ τῆς Παρθένου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Καὶ ψάλλομεν τὸ παρὸν Ἰδιόμελον.

Ἦχος πλ. β'

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη.

Σήμερον δέχεται ἡ Βηθλεέμ, τὸν καθήμερον

διὰ παντὸς σὺν Πατρί. Σήμερον Ἄγγελοι

τὸ βρέφος τὸ τεχθέν, θεοπρεπῶς δοξολογοῦσι.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη,

ἐν ἀνθρώποις εὐδοκία.

ΔΙΑΚΟΝΟΣ

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον

τὴν κληρονομίαν σου...

ΧΟΡΟΣ τέσσερις τριάδες:

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ...

ΧΟΡΟΣ:

Ἀμήν.

ΚΑΝΟΝΕΣ

Το μέγιστο 3 κανόνες.

Σήμερα διαβάζονται ή ψάλλονται 2 κανόνες

---

## ΩΔΗ Α΄ ΚΑΝΟΝΩΝ

Κανὼν Χριστουγέννων πρῶτος.

Ἦχος α΄

Τοῦ κυρίου Κοσμᾶ, φέρων ἀκροστιχίδα τήνδε.

Χριστὸς βροτωθεὶς ἦν ὅπερ Θεὸς μένῃ.

Ὁ Εἱρμός.

(ψάλλεται και ο Είρμός)

Χριστὸς γεννᾶται, δοξάσατε. Χριστὸς
ἐξ οὐρανῶν ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς, ὑψώθητε,
Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ,
ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]

Ῥεύσαντα ἐκ παραβάσεως, Θεοῦ τὸν
κατ' εἰκόνα γενόμενον, ὅλον τῆς φθορᾶς ὑπάρξαντα,
κρείττονος ἐπταικότα θείας ζωῆς, αὖθις ἀναπλάττει,
ὁ σοφὸς Δημιουργός, ὅτι δεδόξασται.

[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]

Ἰδὼν ὁ Κτίστης ὀλλύμενον, τὸν ἄνθρωπον χερσίν,
ὃν ἐποίησε, κλίνας οὐρανοὺς κατέρχεται, τοῦτον
δὲ ἐκ Παρθένου θείας Ἁγνῆς, ὅλον οὐσιοῦται,
ἀληθείᾳ σαρκωθείς, ὅτι δεδόξασται.

[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]

Σοφία λόγος καὶ δύναμις, Υἱὸς ὢν τοῦ Πατρός,
καὶ ἀπαύγασμα, Χριστὸς ὁ Θεός, δυνάμεις λαθών,
ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ, καὶ ἐνανθρωπήσας,
ἀνεκτήσατο ἡμᾶς, ὅτι δεδόξασται.

Κανὼν Χριστουγέννων Ἰαμβικός.

Ἦχος ὁ αὐτὸς

Ἰωάννου Μοναχοῦ, φέρων ἀκροστιχίδα τήν

δε διὰ στίχων Ἡρωελεγείων.

Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει.

Υἷα Θεοῦ μερόπων ἕνεκα τικτόμενον.

Ἐν χθονί, καὶ λύοντα πολύστονα πήματα κόσμου.

Ἀλλ' Ἄνα ῥητῆρας ῥύεο τῶνδε πόνων.

Ὁ Εἱρμός.

(ψάλλεται και ο Είρμός)

Ἔσωσε λαόν, θαυματουργῶν Δεσπότης,

Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι·

Ἑκὼν δὲ τεχθεὶς ἐκ Κόρης, τρίβον βατήν,

Πόλου τίθησιν ἡμῖν· ὃν κατ οὐσίαν, Ἶσόν τε Πατρί,

καὶ βροτοῖς δοξάζομεν.

[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]

Ἔσωσε λαόν, θαυματουργῶν Δεσπότης,

Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι·

Ἑκὼν δὲ τεχθεὶς ἐκ Κόρης, τρίβον βατήν,

Πόλου τίθησιν ἡμῖν· ὃν κατ οὐσίαν, Ἶσόν τε Πατρί,

καὶ βροτοῖς δοξάζομεν.

Δόξα...

Ἤνεγκε γαστὴρ ἡγιασμένη Λόγον, Σαφῶς ἀφλέκτῳ

ζωγραφουμένη βάτῳ, Μιγέντα μορφῇ, τῇ βροτησίᾳ Θεόν,

Εὔας τάλαιναν, νηδὺν ἀρᾶς τῆς πάλαι, Λύοντα πικρᾶς,

ὃν βροτοὶ δοξάζομεν.

Καὶ νῦν...

Ἔδειξεν ἀστὴρ τὸν πρὸ ἡλίου Λόγον, Ἐλθόντα παῦσαι

τὴν ἁμαρτίαν Μάγοις, Σαφῶς πενιχρὸν εἰς σπέος

τὸν συμπαθῆ, Σὲ σπαργάνοις ἑλικτόν· ὃν γεγηθότες,

Ἶδον τὸν αὐτόν, καὶ βροτὸν καὶ Κύριον.

---

## ΩΔΗ Γ΄ ΚΑΝΟΝΩΝ

Κανὼν Χριστουγέννων πρῶτος.

Ἦχος α΄

Ὁ Εἱρμός.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι
ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου,
σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν·
ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.
[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]
Ὁ τῆς ἐπιπνοίας, μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκός,
καὶ πρὸς φθορὰν κατολισθήσας, γυναικείᾳ ἀπάτῃ,
Χριστὸν γυναικὸς βοᾷ ἐξορῶν, ὁ δι' ἐμὲ κατ᾽ ἐμὲ γεγονώς,
ἅγιος εἶ Κύριε.
[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]
Σύμμορφος πηλίνης, εὐτελοῦς διαρτίας Χριστὲ γεγονώς,
καὶ μετοχῇ σαρκὸς τῆς χείρω, μεταδοὺς θείας φύτλης,
βροτὸς πεφυκώς, καὶ μείνας Θεός, καὶ ἀνυψώσας
τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.
[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]
Βηθλεὲμ εὐφραίνου, Ἡγεμόνων Ἰούδα βασίλεια·
τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων, Χερουβὶμ ὁ ἐπ' ὤμων,
ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς, καὶ ἀνυψώσας
τὸ κέρας ἡμῶν, πάντων ἐβασίλευσεν.

Κανὼν Χριστουγέννων Ἰαμβικός.

Ἦχος ὁ αὐτὸς

Ὁ Εἱρμός.

Νεῦσον πρὸς ὕμνους οἰκετῶν Εὐεργέτα, Ἐχθροῦ

ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν, Φέρων τε
Παντεπόπτα τῆς ἁμαρτίας, Ὕπερθεν ἀκλόνητον,
ἐστηριγμένους, Μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίστεως.
[Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι]
Νεῦσον πρὸς ὕμνους οἰκετῶν Εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν, Φέρων τε
Παντεπόπτα τῆς ἁμαρτίας, Ὕπερθεν ἀκλόνητον,
ἐστηριγμένους, Μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίστεως.
Δόξα...
Νύμφης πανάγνου τὸν πανόλβιον τόκον Ἰδεῖν
ὑπὲρ νοῦν ἠξιωμένος χορός, Ἄγραυλος ἐκλονεῖτο,
τῷ ξένῳ τρόπῳ. Τάξιν μελῳδοῦσάν τε τῶν Ἀσωμάτων,
Ἄνακτα Χριστόν, ἀσπόρως σαρκούμενον.
Καὶ νῦν...
Ὕψους ἀνάσσων οὐρανῶν εὐσπλαγχνίᾳ, Τελεῖ καθ' ἡμᾶς
ἐξ ἀνυμφεύτου Κόρης, Ἄϋλος ὢν τὸ πρόσθεν·
ἀλλ' ἐπ' ἐσχάτων Λόγος παχυνθεὶς σαρκί,
τὸν πεπτωκότα, Ἵνα πρὸς αὐτὸν ἑλκύσῃ πρωτόκτιστον.
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς,
ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης,
ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου
Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες,
ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν,

Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
ΧΟΡΟΣ: Ἀμήν.
Η Υπακοή συνήθως διαβαστά.
Ἡ Ὑπακοὴ Ἦχος πλ. δ'
Τὴν ἀπαρχὴν τῶν Ἐθνῶν, ὁ οὐρανὸς σοι προσεκόμισε, τῷ κειμένῳ νηπίῳ ἐν φάτνῃ, δι᾽ ἀστέρος τοὺς Μάγους καλέσας· οὓς καὶ κατέπληττεν, οὐ σκῆπτρα καὶ θρόνοι, ἀλλ' ἐσχάτη πτωχεία· τὶ γάρ εὐτελέστερον σπηλαίου; τὶ δὲ ταπεινότερον σπαργάνων; ἐν οἷς διέλαμψεν ὁ τῆς Θεότητός σου πλοῦτος. Κύριε δόξα σοι.
Ἱστέον ὅτι ὅτε λέγομεν ὑπακοήν, Κάθισμα οὐ λέγομεν ὡς ἔν τισι Τυπικοῖς εὕρομεν.
Κάθισμα Ἦχος πλ. δ'
Τὸ προσταχθὲν μυστικῶς.
Ἀγαλλιάσθω οὐρανός, γῆ εὐφραινέσθω· ὅτι ἐτέχθη ἐπὶ γῆς, ὁ Ἀμνὸς τοῦ Θεοῦ, παρέχων τῷ κόσμῳ τὴν ἀπολύτρωσιν. Ὁ Λόγος ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρός, προῆλθεν ἐκ τῆς Παρθένου ἄνευ σπορᾶς· ὃν οἱ Μάγοι ἐξίσταντο, ὁρῶντες ἐν Βηθλεέμ, τικτόμενον ὡς νήπιον· ὃν δοξάζει τὰ σύμπαντα.
Δόξα... Καὶ νῦν... τὸ αὐτὸ.
Ιστέον οτι ότε αναγινώσεται Υπακοή καθίσματα ου ψάλλομεν.
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.
Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ: Ἀμήν.
Διαβάζουμε το, Κοντάκιο, Οἶκο και Συναξάριο της ημέρας.
Κοντάκιον.
Ἦχος γ' Αὐτόμελον.
Ποίημα Ῥωμανοῦ τοῦ Μελῳδοῦ.
Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι. Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι· δι' ἡμᾶς γὰρ ἐγεννήθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.
Ὁ Οἶκος.
Τὴν Ἐδὲμ Βηθλεὲμ ἤνοιξε, δεῦτε ἴδωμεν· τὴν τρυφὴν ἐν κρυφῇ εὕρομεν, δεῦτε λάβωμεν, τὰ τοῦ Παραδείσου ἔνδον τοῦ Σπηλαίου. Ἐκεῖ ἐφάνη ῥίζα ἀπότιστος, βλαστάνουσα ἄφεσιν· ἐκεῖ εὑρέθη φρέαρ ἀνώρυκτον, οὗ πιεῖν Δαυῒδ πρὶν ἐπεθύμησεν· ἐκεῖ Παρθένος τεκοῦσα βρέφος, τὴν δίψαν ἔπαυσεν εὐθύς, τὴν τοῦ Ἀδὰμ καὶ τοῦ Δαυῒδ· διὰ τοῦτο πρὸς τοῦτο ἐπειχθῶμεν, οὗ ἐτέχθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.
Συναξάριον.
Τῇ ΚΕ' τοῦ αὐτοῦ μηνός, Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ

Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στίχοι

Θεὸς τὸ τεχθέν, ἡ δὲ Μήτηρ Παρθένος.

Τὶ μεῖζον ἄλλο καινὸν εἶδεν ἡ κτίσις;

Παρθενικὴ Μαρίη Θεὸν εἰκάδι γείνατο πέμπτη.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ προσκύνησις τῶν Μάγων.

Στίχοι

Σὲ προσκυνοῦσα τάξις ἐθνική, Λόγε,

Τὸ πρὸς σὲ δηλοῖ τῶν Ἐθνῶν μέλλον σέβας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν θεασαμένων Ποιμένων τὸν Κύριον.

Στίχοι

Ποίμνην ἀφέντες τὴν ἑαυτῶν Ποιμένες,

Ἰδεῖν καλὸν σπεύδουσι Χριστὸν ποιμένα.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Και ψάλλονται οι Καταβασίες

Καταβασίες τῆς Χριστοῦ Γεννήσεως

Ἦχος α΄.

Ὠδὴ α΄.

δεξιός χορός

Χριστὸς γεννᾶται, δοξάσατε,

Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε,

Χριστὸς ἐπὶ γῆς, ὑψώθητε,

ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ,

καὶ ἐν εὐφροσύνῃ,

ἀνυμνήσατε λαοί,

ὅτι δεδόξασται.

Ὠδὴ α΄. Ἰαμβικὸς.

Ἦχος ο αυτός.

ἀριστερός χορός

Ἔσωσε λαόν, θαυματουργῶν Δεσπότης,
Ὑγρὸν θαλάσσης κῦμα, χερσώσας πάλαι.
Ἑκὼν δὲ τεχθείς, ἐκ Κόρης τρίβον βατήν,
Πόλου τίθησιν ἡμῖν· ὅν κατ' οὐσίαν,
Ἴσόν τε Πατρί, καὶ βροτοῖς δοξάζομεν.

Ὠδὴ γ΄.

δεξιός χορός

Τῷ πρὸ τῶν αἰώνων,
ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ,
καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου,
σαρκωθέντι ἀσπόρως,
Χριστῷ τῷ Θεῷ βοήσωμεν·
Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν,
Ἅγιος εἶ Κύριε.

Ὠδὴ γ΄. Ἰαμβικὸς

ἀριστερός χορός

Νεῦσον πρὸς ὕμνους, οἰκετῶν εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν, τὴν ἐπηρμένην ὀφρύν,
Φέρων τε παντεπόπτα, τῆς ἁμαρτίας
Ὕπερθεν ἀκλόνητον, ἐστηριγμένους,
Μάκαρ μελῳδούς,

δεξιός χορός (κατάληξη)

τῇ βάσει τῆς πίστεως.

Ὠδὴ δ΄.

ἀριστερός χορός

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί,
καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ,
ἐκ τῆς Παρθένου ἀνεβλάστησας,
ἐξ ὄρους ὁ αἰνετός,

κατασκίου δασέος,
ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου,
ὁ ἄϋλος καὶ Θεός,
Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ δ΄. Ἰαμβικὸς

δεξιός χορός
Γένους βροτείου, τὴν ἀνάπλασιν πάλαι,
ἌΙδων προφήτης, Ἀββακοὺμ προμηνύει,
Ἰδεῖν ἀφράστως, ἀξιωθεὶς τὸν τύπον·
Νέον βρέφος γάρ, ἐξ ὄρους τῆς Παρθένου,
Ἐξῆλθε λαῶν,
ἀριστερός χορός (κατάληξη)
εἰς ἀνάπλασιν Λόγος.

Ὠδὴ ε΄.

δεξιός χορός
Θεὸς ὢν εἰρήνης,
Πατὴρ οἰκτιρμῶν,
τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον,
εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν·
ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες,
ἐκ νυκτὸς ὀρθρίζοντες,
δοξολογοῦμέν σε, Φιλάνθρωπε.

Ὠδὴ ε΄. Ἰαμβικὸς

ἀριστερός χορός
Ἐκ νυκτὸς ἔργων, ἐσκοτισμένης πλάνης,
Ἱλασμὸν ἡμῖν, Χριστὲ τοῖς ἐγρηγόρως,
Νῦν Σοὶ τελοῦσιν, ὕμνον ὡς εὐεργέτῃ,
Ἔλθοις πορίζων, εὐχερῆ τε τὴν τρίβον,
Καθ' ἣν ἀνατρέχοντες,

δεξιός χορός (κατάληξη)
εὕροιμεν κλέος.
Ὠδὴ ς΄.
ἀριστερός χορός
Σπλάγχνων Ἰωνᾶν,
ἔμβρυον ἀπήμεσεν,
ἐνάλιος θήρ, οἷον ἐδέξατο,
τῇ Παρθένῳ δέ,
ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών,
διελήλυθε φυλάξας ἀδιάφθορον·
ἧς γάρ, οὐχ ὑπέστη ῥεύσεως,
τὴν τεκοῦσαν, κατέσχεν ἀπήμαντον.
Ὠδὴ ς΄. Ἰαμβικὸς
δεξιός χορός
Ναίων Ἰωνᾶς, ἐν μυχοῖς θαλαττίοις,
Ἐλθεῖν ἐδεῖτο, καὶ ζάλην ἀπαρκέσαι.
Νυγεὶς ἐγὼ δέ, τῷ τυραννοῦντος βέλει,
Χριστὲ προσαυδῶ, τὸν κακῶν ἀναιρέτην,
Θᾶττον μολεῖν Σε,
ἀριστερός χορός (κατάληξη)
τῆς ἐμῆς ῥᾳθυμίας.
Ὠδὴ ζ΄.
δεξιός χορός
Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες,
δυσσεβοῦς προστάγματος καταφρονήσαντες,
πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν,
ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον,
ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.
Ὠδὴ ζ΄. Ἰαμβικὸς

ἀριστερός χορός
Τῷ παντάνακτος, ἐξεφαύλισαν πόθῳ,
Ἄπλητα θυμαίνοντος, ἠγκιστρωμένοι,
Παῖδες τυράννου, δύσθεον γλωσσαλγίαν·
Οἷς εἴκαθε πῦρ, ἄσπετον τῷ Δεσπότῃ,
Λέγουσιν·
δεξιός χορός (κατάληξη)
Εἰς αἰῶνας εὐλογητὸς εἶ.
Ὠδὴ η΄.
ἀριστερός χορός
Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.
Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος,
ἐξεικόνισε κάμινος τύπον·
οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους,
ὡς οὐδὲ πῦρ τῆς Θεότητος,
Παρθένου ἣν ὑπέδυ νηδύν·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον,
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.
Ὠδὴ η΄. Ἰαμβικὸς
δεξιός χορός
Μήτραν ἀφλέκτως, εἰκονίζουσι Κόρης,
Οἱ τῆς παλαιᾶς, πυρπολούμενοι νέοι,
Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην.
Ἄμφω δὲ δρῶσα, θαυματουργίᾳ μιᾷ,
Λαοὺς πρὸς ὕμνον, ἐξανίστησι Χάρις.
ΔΙΑΚΟΝΟΣ
Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός,
ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ἡ Τιμιωτέρα δεν στιχολογεῖται αλλά ψάλλομε την θ΄ Ωδή των κανόνων της εορτής στον ήχο τους.

---

## ΩΔΗ Θ΄ ΚΑΝΟΝΩΝ

Κανὼν Χριστουγέννων πρῶτος.

Ἦχος α΄

Παρατίθενται όλα τα Μεγαλυνάρια για την περίπτωση που θα τα χρησιμοποιήσεις όλα, δηλαδή τροπάρια διπλά ή εις οκτώ.

ΜΕΓΑΛΥΝΑΡΙΑ

Ψαλλόμενα ἐν τῇ Ὠδῇ ταύτῃ στον 1ο κανόνα

Ἦχος α'

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν,
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων. (Δίς)
Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Παρθένου,
Θεὸν σαρκὶ τεχθέντα.
Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ Σπηλαίῳ,
τεχθέντα Βασιλέα.
Μεγάλυνον ψυχή μου, τῶν ὑπὸ τῶν Μάγων,
Θεὸν προσκυνηθέντα.
Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ Ἀστέρος,
τοῖς Μάγοις μηνυθέντα.
Μεγάλυνον ψυχή μου, τὴν ἁγνὴν Παρθένον,
τὴν γεννησαμένην, Χριστὸν τὸν Βασιλέα.
Μάγοι καὶ Ποιμένες, ἦλθον προσκυνῆσαι,
Χριστὸν τὸν γεννηθέντα, ἐν Βηθλεὲμ τῇ πόλει.
Ἕτερα εἰς τὸν Ἰαμβικὸν Κανόνα
Σήμερον ἡ Παρθένος, τίκτει τὸν Δεσπότην,
ἔνδον ἐν τῷ Σπηλαίῳ.

Σήμερον ὁ Δεσπότης, τίκτεται ὡς βρέφος,
ὑπὸ Μητρὸς Παρθένου.
Σήμερον οἱ Ποιμένες, βλέπουσι τὸν Σωτῆρα,
σπαργάνοις εἰλημένον, καὶ κείμενον ἐν Φάτνῃ.
Σήμερον ὁ Δεσπότης, ῥάκει σπαργανοῦται,
ὁ ἀναφὴς ὡς βρέφος.
Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει,
ὅτι Χριστὸς ἐτέχθη, ἐκ τῆς Παρθένου Κόρης.
Οὐράνιαι Δυνάμεις τεχθέντα τὸν Σωτῆρα,
Κύριον καὶ Δεσπότην, μηνύουσι τῷ κόσμῳ.
Δόξα...
Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου,
καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.
Καὶ νῦν ...
Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην,
ἡμᾶς ἐκ τῆς κατάρας.

## ΩΔΗ Θ΄ ΚΑΝΟΝΩΝ ΜΕ ΜΕΓΑΛΥΝΑΡΙΑ

Ὁ Εἱρμός.
Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν,
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.
Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν
τὸ Σπήλαιον· θρόνον Χερουβικόν, τὴν Παρθένον·
τὴν φάτνην χωρίον· ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος,
Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.
Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Παρθένου,
Θεὸν σαρκὶ τεχθέντα.
Ἐξαίσιον δρόμον, ὁρῶντες οἱ Μάγοι, ἀσυνήθους
νέου ἀστέρος ἀρτιφαοῦς, οὐρανίου ὑπερλάμποντος,
Χριστὸν Βασιλέα ἐτεκμήραντο, ἐν γῇ γεννηθέντα

Βηθλεέμ, εἰς σωτηρίαν ἡμῶν.
Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ Σπηλαίῳ,
τεχθέντα Βασιλέα.
Νεηγενὲς Μάγων λεγόντων, παιδίον Ἄναξ,
οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστίν; εἰς γὰρ ἐκείνου
προσκύνησιν ἥκομεν· μανεὶς ὁ Ἡρῴδης ἐταράττετο,
Χριστὸν ἀνελεῖν, ὁ θεομάχος φρυαττόμενος.
Μεγάλυνον ψυχή μου, τῶν ὑπὸ τῶν Μάγων,
Θεὸν προσκυνηθέντα.
Ἠκρίβωσε χρόνον Ἡρῴδης ἀστέρος,
οὗ ταῖς ἡγεσίαις οἱ Μάγοι ἐν Βηθλεέμ,
προσκυνοῦσι Χριστῷ σὺν δώροις·
ὑφ' οὗ πρὸς Πατρίδα ὁδηγούμενοι,
δεινὸν παιδοκτόνον, ἐγκατέλιπον παιζόμενον.
Κανὼν Χριστουγέννων Ἰαμβικός.
Ἦχος ὁ αὐτὸς
Ὁ Εἱρμός.
Σήμερον ἡ Παρθένος, τίκτει τὸν Δεσπότην,
ἔνδον ἐν τῷ Σπηλαίῳ.
Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπήν, τῷ πόθῳ δὲ Παρθένε,
Ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους,
Ἐργῶδές ἐστιν, ἀλλὰ καὶ Μήτηρ σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις δίδου.
Σήμερον ὁ Δεσπότης, τίκτεται ὡς βρέφος,
ὑπὸ Μητρὸς Παρθένου.
Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπήν, τῷ πόθῳ δὲ Παρθένε,
Ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους,

Ἐργῶδές ἐστιν, ἀλλὰ καὶ Μήτηρ σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις δίδου.
Δόξα...
Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου,
καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.
Τύπους ἀφεγγεῖς καὶ σκιὰς παρηγμένας,
Ὦ Μῆτερ ἁγνή, τοῦ Λόγου δεδορκότες, Νέου φανέντος,
ἐκ πύλης κεκλεισμένης, Δοξούμενοί τε, τῆς ἀληθείας φάος,
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.
Καὶ νῦν...
Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην,
ἡμᾶς ἐκ τῆς κατάρας.
Πόθου τετευχώς, καὶ Θεοῦ παρουσίας,
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος, Νῦν ποτνιᾶται
τῆς παλιγγενεσίας. Ὡς ζωοποιοῦ·
τὴν χάριν δὲ Παρθένε, Νέμοις ἄχραντε,
προσκυνῆσαι τὸ κλέος.
Κατόπιν ψάλλεται ἡ θ΄ Ωδή των καταβασιών
Καταβασία.
Ὠδὴ θ΄ Ἦχος α΄
δεξιός χορός
Μεγάλυνον ψυχή μου, τὴν Τιμιωτέραν,
καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.
Μυστήριον ξένον,
ὁρῶ καὶ παράδοξον!
οὐρανὸν τὸ Σπήλαιον, θρόνον
Χερουβικόν, τὴν Παρθένον,
τὴν φάτνην χωρίον,
ἐν ᾧ ἀνεκλήθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός,

ὃν ἀνυμνοῦντες μεγαλύνομεν.
Ὠδὴ θ΄ Ἰαμβικὸς Ἦχος ο αυτός
ἀριστερός χορός
Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην,
ἡμᾶς ἐκ τῆς κατάρας.
Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπήν· τῷ πόθῳ δὲ Παρθένε,
Ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους,
Ἐργῶδές ἐστιν· ἀλλὰ καὶ Μήτηρ σθένος,
Ὅση πέφυκεν, ἡ προαίρεσις δίδου.
Μετὰ τὴν καταβασίαν τῆς θ' ᾠδῆς,
γίνεται ἡ ὡρισμένη αἴτησις
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου...
Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν...
ΧΟΡΟΣ: Ἀμήν.
Εἶτα ψάλλονται τὰ Ἐξαποστειλάρια
Ἐξαποστειλάριον Αὐτόμελον.
Ἐπεσκέψατο ἡμᾶς, ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν,
ἀνατολὴ ἀνατολῶν, καὶ οἱ ἐν σκότει καὶ σκιᾷ,
εὕρομεν τὴν ἀλήθειαν· καὶ γὰρ ἐκ τῆς Παρθένου
ἐτέχθη ὁ Κύριος. Ἐκ γ'.

Αἶνοι
Ψαλμὸς 148(ΡΜΗ)
Ἦχος δ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε
τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν
ἐν τοῖς Ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ,
αἰνεῖτε αὐτόν, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ,
Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.
Εἰς τοὺς Α ἴ ν ο υ ς, Ἱστῶμεν Στίχους 4 καὶ ψάλλομεν
Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ'
καὶ ψάλλομεν Στιχηρά. Ἰδιόμελα.
Ἦχος δ' Ἀνδρέου Ἱεροσολυμίτου.
Στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ,
αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Εὐφραίνεσθε Δίκαιοι, οὐρανοὶ ἀγαλλιᾶσθε,
σκιρτήσατε τὰ ὄρη, Χριστοῦ γεννηθέντος,
Παρθένος καθέζεται, τὰ Χερουβὶμ μιμουμένη,
βαστάζουσα ἐν κόλποις, Θεόν Λόγον σαρκωθέντα.
Ποιμένες τὸν τεχθέντα δοξάζουσι. Μάγοι
τῷ Δεσπότῃ δῶρα προσφέρουσιν.
Ἄγγελοι ἀνυμνοῦντες λέγουσιν· Ἀκατάληπτε
Κύριε, δόξα σοι.
Στίχος. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος,
αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρα.
Ὁ αὐτὸς.

Ὁ Πατὴρ εὐδόκησεν, ὁ Λόγος σάρξ ἐγένετο,
καὶ ἡ Παρθένος ἔτεκε, Θεὸν ἐνανθρωπήσαντα,
Ἀστὴρ μηνύει· Μάγοι προσκυνοῦσι·
Ποιμένες θαυμάζουσι, καὶ ἡ κτίσις ἀγάλλεται.
Στίχος. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ,
αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνω.
Ὁ αὐτὸς.
Θεοτόκε Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα,
ἀνέτρεψας τὴν πρώτην κατάραν τῆς Εὔας,
ὅτι Μήτηρ γέγονας, τῆς εὐδοκίας τοῦ Πατρός,
βαστάζουσα ἐν κόλποις, Θεὸν Λόγον σαρκωθέντα.
Οὐ φέρει το μυστήριον ἔρευναν· πίστει μόνῃ
τοῦτο πάντες δοξάζομεν, κράζοντες μετὰ σοῦ
καὶ λέγοντες· Ἀνερμήνευτε Κύριε, Δόξα σοι.
Στίχος. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις,
αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Ὁ αὐτὸς.
Δεῦτε ἀνυμνήσωμεν, τὴν Μητέρα τοῦ Σωτῆρος,
τὴν μετὰ τόκον πάλιν ὀφθεῖσαν Παρθένον·
Χαίροις Πόλις ἔμψυχε, τοῦ Βασιλέως καὶ
Θεοῦ, ἐν ᾗ Χριστὸς οἰκήσας, σωτηρίαν εἰργάσατο.
Μετὰ τοῦ Γαβριὴλ ἀνυμνοῦμέν σε, μετὰ
τῶν Ποιμένων δοξάζομεν κράζοντες·
Θεοτόκε πρέσβευε, τῷ ἐκ σοῦ σαρκωθέντι, σωθῆναι ἡμᾶς.
Δόξα...
Ἦχος πλ β' Γερμανοῦ.
Ὅτε καιρός, τῆς ἐπὶ γῆς παρουσίας σου,
πρώτη ἀπογραφὴ τῇ οἰκουμένῃ ἐγένετο,

τότε ἔμελλες τῶν ἀνθρώπων ἀπογράφεσθαι
τὰ ὀνόματα, τῶν πιστευόντων τῷ τόκῳ σου·
διὰ τοῦτο τὸ τοιοῦτον δόγμα, ὑπὸ Καίσαρος
ἐξεφωνήθη· τῆς γὰρ αἰωνίου σου βασιλείας,
τὸ ἄναρχον ἐκαινουργήθη. Διὸ σοι προσφέρομεν
καὶ ἡμεῖς, ὑπὲρ τήν χρηματικὴν φορολογίαν,
ὀρθοδόξου πλουτισμὸν θεολογίας, τῷ Θεῷ
καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.
Καὶ νύν...

Ἦχος β' Ἰωάννου Μοναχοῦ.

Σήμερον ὁ Χριστός, ἐν Βηθλεὲμ γεννᾶται
ἐκ Παρθένου. Σήμερον ὁ ἄναρχος ἄρχεται,
καὶ ὁ Λόγος σαρκοῦται. Αἱ δυνάμεις τῶν οὐρανῶν
ἀγάλλονται, καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται.
Οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν, οἱ Ποιμένες
τὸ θαῦμα κηρύττουσιν, ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν·
ο δεξιός Χορός, ποιεί την κατάληξη του τροπαρίου
που είναι και αρχή της Δοξολογίας.
Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη,
ἐν ἀνθρώποις εὐδοκία.
ο αριστερός Χορός συνεχίζει με τον δεύτερο στίχο
της Δοξολογίας.
Σύμφωνα με το άγραφο τυπικό, η δοξολογία σήμερα
ψάλλεται σε ήχο β΄ σύντομο.
(σε συνέχεια του προηγηθέντος τροπαρίου)

Ὑμνούμέν σε, εὐλογούμέν σε, προσκυνούμέν σε,
δοξολογούμέν σε, εὐχαριστούμέν σοί, διὰ τὴν
μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ,
Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα,
Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός,
ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς,
ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.
Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος
ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.
Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος,
Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.
Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε,
καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα,
καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρα ταύτῃ,
ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν,
καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου
εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς,
καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου (γ').
Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεά,
Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου,
ὅτι ἥμαρτόν σοί.
Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν
τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σου τοὶς γινώσκουσί σε.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος,
ἐλέησον ἡμᾶς (ἐκ γ').

Δόξα... Καὶ νύν...
Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος,
ἐλέησον ἡμᾶς.
Ἀπολυτίκιον Ἦχος δ'
Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε
τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ
τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο·
σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης,
καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.
Ἐν ταῖς ἐνορίαις αἱ αἰτήσεις σύν τῇ Μεγάλη
Ἀπολύσει τοῦ Ὄρθρου λέγονται μυστικῶς ἀπὸ
τὸν Ἱερέαν καὶ τὸν Διάκονον ὅταν ἄρχεται ἡ Μεγάλη Δοξολογία.
Τέλος του Όρθρου καὶ ἄρχεται η Θεία Λειτουργία
ΕΙΔΗΣΙΣ
ΕΙΔΗΣΙΣ
Ἀπὸ σήμερον μέχρι καὶ τῆς δ΄ Ἰανουαρίου γίνεται κατάλυσις εἰς πάντα.

Συμπλήρωμα κατά περίπτωση

ΑΠΟΣΤΟΛΟΣ
Εορτής ημέρας.
~
Ἡ κατὰ Σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ
Σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ.
Προκείμενον. Ἦχος πλ. δ΄
Στίχ.1 Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.
Στίχ.2 Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ᾿Ανάγνωσμα

4:4-7

Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου,
ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον
ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς
ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.
Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα
τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον·
Ἀββᾶ ὁ πατήρ. Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ᾿ υἱός·
εἶ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.
Ἀλληλούϊα(γ΄). Ἦχος α΄
Στίχ.1 Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ,
ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
Στίχ.2 Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ
ἀναγγέλλει γνῶσιν.
~

ΕΥΑΓΓΕΛΙΟΝ

Εορτής ημέρας.

Η ΚΑΤΑ ΣΑΡΚΑ ΓΕΝΝΗΣΙΣ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ
ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Ἐκ τοῦ κατὰ Ματθαῖον

β΄ 1 - 12

Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλέεμ τῆς Ἰουδαίας
ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι
ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα λέγοντες·
Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων;
εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ
ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ Ἡρῴδης
ὁ βασιλεὺς ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ᾿ αὐτοῦ,
καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς

τοῦ λαοῦ ἐπυνθάνετο παρ' αὐτῶν ποῦ
ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ·
Ἐν Βηθλέεμ τῆς Ἰουδαίας· οὕτως γὰρ
γέγραπται διὰ τοῦ προφήτου· Καὶ σύ Βηθλέεμ,
γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς
ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος,
ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ.
Τότε Ἡρῴδης λάθρᾳ καλέσας τοὺς μάγους
ἠκρίβωσεν παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου
ἀστέρος, καὶ πέμψας αὐτοὺς εἰς Βηθλέεμ εἶπε·
Πορευθέντες ἐξετάσατε ἀκριβῶς περὶ τοῦ παιδίου·
ἐπὰν δὲ εὕρητε ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν
προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως
ἐπορεύθησαν· καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ
προῆγεν αὐτοὺς ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν
τὸ παιδίον· ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν
μεγάλην σφόδρα. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον
τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ,
καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες
τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα,
χρυσὸν καὶ λίβανον καὶ σμύρναν· καὶ χρηματισθέντες
κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι' ἄλλης
ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.
~

ΕΚΤΕΝΗΣ ΔΕΗΣΗ (εκφώνως)

ΔΙΑΚΟΝΟΣ

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Κύριε, Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν...

Κύριε, ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων χριστιανῶν.

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (...).

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἱερέων...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων...

Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις...

ΧΟΡΟΣ:

Ἀμήν.

ΔΙΑΚΟΝΟΣ

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν...

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν...

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν...

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν...

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν...

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν...

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου...

Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις...

ΧΟΡΟΣ:

Ἀμήν.

ΙΕΡΕΥΣ:

Εἰρήνη πᾶσι.

Καὶ τῷ Πνεύματί σου.

ΔΙΑΚΟΝΟΣ:

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

ΙΕΡΕΥΣ

Κύριε, Ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν...

Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς...

ΧΟΡΟΣ:

Ἀμήν.

ΔΙΑΚΟΝΟΣ:

Σοφία

ΙΕΡΕΥΣ:

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν...

ΔΙΑΚΟΝΟΣ ἢ ΑΝΑΓΝΩΣΤΗΣ:
Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον
πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν,
σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει
(ἢ τῇ μονῇ, ἢ τῇ κώμῃ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.
Και ευθύς αναγινώσκεται η πρώτη Ώρα από το
Δεύτε προσκυνήσωμεν.

Ει δε μή, γίνεται απόλυσις ως εξής:
ΙΕΡΕΥΣ:
Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.
ΔΙΑΚΟΝΟΣ ἢ ΧΟΡΟΣ:
Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ'), πάτερ ἅγιε,
εὐλόγησον.
ΙΕΡΕΥΣ
(μεγάλη απόλυσις)
Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθείς, διὰ τὴν ἡμῶν σωτηρίαν,
Χριστός ὁ ἀληθινός Θεός ἡμῶν,
ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός,
δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων
ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου,
Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων
Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ
θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ἁγίου τοῦ Ναοῦ), τῶν ἁγίων καὶ δικαίων
Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι
ἡμάς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΙΕΡΕΥΣ
Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον

καὶ σῶσον ἡμᾶς.
ΧΟΡΟΣ:
Ἀμήν.

Τέλος του Όρθρου

Με αυτά τα χρώματα τοῦ ΙΕΡΕΩΣ και ΔΙΑΚΟΝΟΥ.
Με αυτά τα χρώματα τοῦ ΧΟΡΟΥ και ΑΝΑΓΝΩΣΤΟΥ
Με αυτά τα χρώματα οι Τίτλοι, οδηγίες, πληροφορίες, τυπικό.
Τα ηχητικά κουμπιά αποκρύβονται από το μεγάφωνο της εργαλειοθήκης
και τα μουσικά από το μουσικό κουμπί.

Ήχος εβδομάδος δ΄.
**† Η ΚΑΤΑ ΣΑΡΚΑ ΓΕΝΝΗΣΙΣ ΤΟΥ**
**ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ**
Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

[Η Λειτουργία των κατηχουμένων]
[Όρθιοι οι πιστοί]
Ὁ Διάκονος, λαβὼν εὐλογίαν παρὰ τοῦ Ἱερέως,
ἐξέρχεται ἐκ τοῦ Ἱεροῦ Βήματος, καὶ προσκυνήσας τρίς, λέγει:
Εὐλόγησον, δέσποτα.
Ὁ Ἱερεύς ποιῶν μετά τοῦ Εὐαγγέλιου τύπον σταυροῦ ἐκφωνεῖ :
Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ
καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ:

Ἀμήν.
Ο Διάκονος εκφωνεί τα «Ειρηνικά»,
ψάλλοντος του Χορού μετά πάσαν δέησιν το, «Κύριε ελέησον».
[οι πιστοί μπορούν να καθίσουν]
ΔΙΑΚΟΝΟΣ
Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:

1. Κύριε, ἐλέησον.
Ὑπέρ τῆς ἄνωθεν εἰρήνης...
2. Κύριε, ἐλέησον.
Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου...
3. Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου...
4. Κύριε, ἐλέησον.
Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων...
5. Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος)...
6. Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους...
7. Κύριε, ἐλέησον.
Ὑπέρ τῆς πόλεως (Μονής Κώμης) ταύτης...
8. Κύριε, ἐλέησον.
Ὑπὲρ εὐκρασίας ἀέρων...
9. Κύριε, ἐλέησον.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων...
10. Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς...
11. Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
12. Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου...
Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι πρέπει σοι, πᾶσα δόξα...
ΧΟΡΟΣ:
Ἀμήν.
Καὶ ψάλλονται τα Α' Ἀντίφωνα πάρα τῶν ψαλτῶν.
[οι πιστοί μπορούν να καθίσουν]
Τα Αντίφωνα είναι 3 ή 4 Ψαλμικοί στίχοι
που ψάλλονται αντιφωνικά από τους δύο
χορούς των ψαλτών.
Μεταξύ των στίχων παρεμβάλλεται
ένα σύντομο τροπάριο.
Ἀντίφωνον Α΄. Ἦχος β΄ [Ψαλμός 110].
Στίχ. α'. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ
καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
Στίχ. β'. Εν βουλῇ εὐθέων καὶ συναγωγῇ,
μεγάλα τὰ ἔργα Κυρίου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ,
σῶσον ἡμᾶς.
Στίχ. γ'. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια
τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
Στίχ. δ'. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ,
άγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
Δόξα... Καὶ νῦν ...
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
[οι πιστοί μπορούν να καθίσουν]
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι...
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον. [καί μετά ἀπό κάθε αἴτηση]
ΔΙΑΚΟΝΟΣ
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Τῆς Παναγίας, ἀχράντου...
ΧΟΡΟΣ:
Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι σὸν τὸ κράτος...
ΧΟΡΟΣ:
Ἀμήν.
Καὶ ψάλλονται τα Β' Ἀντίφωνα πάρα τῶν ψαλτῶν.
[οι πιστοί μπορούν να καθίσουν]
Ἀντίφωνον Β´. Ἦχος β´ [Ψαλμός 111].
Στίχ. α'. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον,
ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς,
ψάλλοντάς σοι· Ἀλληλούϊα.
Στίχ. β' Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ,
γενεὰ εὐθέων εὐλογηθήσεται.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς,
ψάλλοντάς σοι· Ἀλληλούϊα.
Στίχ. γ'. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ,

καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς,
ψάλλοντάς σοι· Ἀλληλούϊα.
Στίχ. δ'. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν·
ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς,
ψάλλοντάς σοι· Ἀλληλούϊα.
Δόξα... Καὶ νῦν...
[οι πιστοί μπορούν να καθίσουν]

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,
ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν
ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας
Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,
ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε,
Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας,
εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ
καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.
[οι πιστοί μπορούν να καθίσουν]
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι...
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον.
ΔΙΑΚΟΝΟΣ
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου...
ΧΟΡΟΣ:
Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι ἀγαθὸς καὶ ...

ΧΟΡΟΣ:

Ἀμήν.

Καὶ ψάλλονται τα Γ΄ Ἀντίφωνα με στίχους
ανάλογους της εορτής και τό Ἀπολυτίκιον τῆς ἡμέρας.

[Όρθιοι οι πιστοί]

Ἀντίφωνον Γ΄. Ἦχος δ΄ [Ψαλμός 109].

Στίχ. α'. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·
Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ
τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν,
ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως·
ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες,
ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν,
τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν
ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.

Στίχ. β'. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι
Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ
τῶν ἐχθρῶν σου.

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν...

Στίχ. γ'. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου,
ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου.

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν...

Ψαλλομένου τοῦ τελευταίου τροπαρίου
γίνεται ἡ μικρὰ Εἴσοδος τοῦ Εὐαγγελίου.

[Όρθιοι οι πιστοί]

ΔΙΑΚΟΝΟΣ

Σοφία· Ὀρθοί.

Ἐάν γίνεται συλλείτουργον, τό εισοδικόν
ψάλλεται ἀπό τούς Ἱερείς με τον β Χορό
να επαναλαμβάνη από το Σώσον ημάς...
Ει δε μη το εισοδικόν ψάλλει ο Χορὸς.
[Όρθιοι οι πιστοί]
ΕΙΣΟΔΙΚΟΝ
Εἰσοδικόν [Ψαλμός 109].
Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε·
ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.
Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς,
ψάλλοντάς σοι· Ἀλληλούϊα.
Ἐάν γίνεται συλλείτουργον, οι Ἱερείς εἰσερχόμενοι
εἰς τό Ἱερόν Βῆμα ψάλλουν τό πρῶτον Ἀπολυτίκιον.
Ἀπολυτίκιον Ἦχος δ'
Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε
τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ
γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος
ἐδιδάσκοντο· σὲ προσκυνεῖν, τὸν Ἥλιον
τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους
ἀνατολήν, Κύριε δόξα σοι.
Ἐάν γίνεται συλλείτουργον, τό Κοντάκιον
το ψάλλουν οι Ἱερείς.
[Δόξα... Καὶ νῦν...]
ψάλλεται το Κοντάκιο της εορτής.
Ἦχος γ'
Αὐτόμελον.
Ποίημα Ῥωμανοῦ τοῦ Μελῳδοῦ.
Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον

τίκτει, καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτῳ
προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι.
Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι· δι' ἡμᾶς γὰρ
ἐγεννήθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.
ΔΙΑΚΟΝΟΣ:
Τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:
Κύριε ἐλέησον.
ΙΕΡΕΥΣ
Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...
ΔΙΑΚΟΝΟΣ:
Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ:
Ἀμήν.
[Όρθιοι οι πιστοί]
Σήμερον αντί του Τρισαγίου ψάλλομεν το:
ΧΟΡΟΣ Δεξιός
1ο. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν
ἐνεδύσασθε, Αλληλούια.
Αριστερός
2ο. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε
Χριστὸν ἐνεδύσασθε, Αλληλούια.
Δεξιός
3ο. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε
Χριστὸν ἐνεδύσασθε, Αλληλούια.
-----------------------------
Ἐάν γίνεται συλλείτουργο το παραπάνω
Τρισάγιον ψάλλεται 5 φορές ως εξής:
1ο. Χορός Δεξιός

2ο. Χορός Αριστερός

3ο. Ιερείς

4ο. Χορός Δεξιός

5ο. Ιερείς

-----------------------------

Αριστερός

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Δεξιός

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Αριστερός

Χριστὸν ἐνεδύσασθε, Αλληλούια.

ΔΙΑΚΟΝΟΣ:

Δύναμις.

ΧΟΡΟΣ:

Δύναμις.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε, Αλληλούια.

Ο Διάκονος ἔρχεται ἔμπροθεν τῆς Ὡραίας Πύλης καί ὅταν ὁ Ἀναγνώστης ἐκφωνήσει τό Προκείμενον του Αποστόλου, λέγει ὁ Διάκονος:

Πρόσχωμεν.

Καί ὅταν ὁ Ἀναγνώστης ἐκφωνήσει τόν Στίχον, λέγει ὁ Διάκονος:

Σοφία.

Καί ὅταν ἐκφωνήσει τήν ἐπιγραφήν τῆς Ἀποστολικῆς περικοπῆς, λέγει ὁ Διάκονος:

Πρόσχωμεν.

[οι πιστοί μπορούν να καθίσουν]

ΑΠΟΣΤΟΛΟΣ

Εορτής ημέρας.

~

Ἡ κατὰ Σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ.

Προκείμενον. Ἦχος πλ. δ΄

Στίχ.1 Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.

Στίχ.2 Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ᾿Ανάγνωσμα

4:4-7

Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ ὁ πατήρ. Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ᾽ υἱός· εἶ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

Ἀλληλούϊα(γ΄). Ἦχος α΄

Στίχ.1 Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Στίχ.2 Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

~

Πληρωθέντος δέ τοῦ Αποστόλου, ὁ Ιερεύς, λέγει:

Εἰρήνη σοι.

ΧΟΡΟΣ:

Ἀλληλούϊα. (γ΄) Μετά τῶν στίχων όπως φαίνονται πιο πάνω.

ΙΕΡΕΥΣ

Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.
Εἰρήνη πᾶσι.
[Όρθιοι οι πιστοί]
ΧΟΡΟΣ:
Καὶ τῷ πνεύματί σου.
ΔΙΑΚΟΝΟΣ:
Ἐκ τοῦ κατὰ ...(δες πιο κάτω) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.
ΙΕΡΕΥΣ
Πρόσχωμεν.
ΧΟΡΟΣ:
Δόξα Σοι, Κύριε, δόξα Σοι.
ΕΥΑΓΓΕΛΙΟΝ
Εορτής ημέρας.
Η ΚΑΤΑ ΣΑΡΚΑ ΓΕΝΝΗΣΙΣ ΤΟΥ ΚΥΡΙΟΥ
ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ
Ἐκ τοῦ κατὰ Ματθαῖον
β΄ 1 - 12
Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλέεμ τῆς Ἰουδαίας
ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ
ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα λέγοντες·
Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων;
εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ
ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ Ἡρῴδης
ὁ βασιλεὺς ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ,
καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς
τοῦ λαοῦ ἐπυνθάνετο παρ' αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται.
οἱ δὲ εἶπον αὐτῷ· Ἐν Βηθλέεμ τῆς Ἰουδαίας· οὕτως
γὰρ γέγραπται διὰ τοῦ προφήτου· Καὶ σύ Βηθλέεμ,
γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα·

ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ
τὸν λαόν μου τὸν Ἰσραήλ. Τότε Ἡρῴδης λάθρᾳ
καλέσας τοὺς μάγους ἠκρίβωσεν παρ' αὐτῶν
τὸν χρόνον τοῦ φαινομένου ἀστέρος, καὶ πέμψας
αὐτοὺς εἰς Βηθλέεμ εἶπε· Πορευθέντες ἐξετάσατε
ἀκριβῶς περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε
ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.
οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν·
καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν
αὐτοὺς ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν τὸ παιδίον·
ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην
σφόδρα. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ
παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ
πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες
τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα,
χρυσὸν καὶ λίβανον καὶ σμύρναν· καὶ χρηματισθέντες
κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην,
δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.
~

Μετὰ τὴν ἀνάγνωσιν, ὁ Ἱερεὺς λέγει:

Εἰρήνη σοι (τῷ εὐαγγελιζομένῳ).

ΧΟΡΟΣ:

Δόξα Σοι, Κύριε, δόξα Σοι.

[οι πιστοί μπορούν να καθίσουν]

ΔΙΑΚΟΝΟΣ:

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς...

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

ΔΙΑΚΟΝΟΣ

Κύριε, Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν...

Κύριε, ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἱερέων....

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων...

Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος...

ΧΟΡΟΣ:

Ἀμήν.

ΔΙΑΚΟΝΟΣ

Εὔξασθε οἱ Κατηχούμενοι τῷ Κυρίῳ.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

ΔΙΑΚΟΝΟΣ

Οἱ πιστοί, ὑπὲρ τῶν Κατηχουμένων δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἵνα ὁ Κύριος...

Κύριε, ἐλέησον.

Κατηχήσῃ αὐτοὺς...

Κύριε, ἐλέησον.

Ἀποκαλύψῃ αὐτοῖς...

Κύριε, ἐλέησον.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ...

Κύριε, ἐλέησον.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ...

Κύριε, ἐλέησον.

Οἱ κατηχούμενοι τὰς κεφαλὰς...

Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι...

ΧΟΡΟΣ:

Ἀμήν.

ΔΙΑΚΟΝΟΣ

Ὅσοι Κατηχούμενοι, προέλθετε...

ΧΟΡΟΣ:

Κύριε ἐλέησον.

ΔΙΑΚΟΝΟΣ

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

ΧΟΡΟΣ:

Κύριε ἐλέησον.

ΔΙΑΚΟΝΟΣ

Σοφία.

[Η Λειτουργία των Πιστών]

[1. Προπαρασκευή της Αγίας Αναφοράς]

[Όρθιοι οι πιστοί]

ΙΕΡΕΥΣ

Ὅτι πρέπει Σοι πᾶσα δόξα...
ΧΟΡΟΣ:
Ἀμήν.
ΔΙΑΚΟΝΟΣ:
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:
Κύριε ἐλέησον.
ΔΙΑΚΟΝΟΣ
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς,
ὁ Θεός, τῇ Σῇ χάριτι.
ΧΟΡΟΣ:
Κύριε ἐλέησον.
ΔΙΑΚΟΝΟΣ
Σοφία.
Καί εἰσέρχεται εἰς τὸ ἱερόν.
ΙΕΡΕΥΣ
Ὅπως, ὑπὸ τοῦ κράτους Σου πάντοτε φυλαττόμενοι...
ΧΟΡΟΣ:
Ἀμήν.
Σύμφωνα με το άγραφο Τυπικό της Μεγάλης του Χριστου Εκκλησίας, το Χερουβικό, τα Λειτουργικά και το Κοινωνικό σήμερα, των Χριστουγέννων, ψάλλονται σε ήχο α΄.

[Όρθιοι οι πιστοί]
Καὶ ψάλλει τὸν Χερουβικὸν ὕμνον ἀργῶς καὶ μετὰ μέλους.
Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες,
καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον

προσᾴδοντες, πᾶσαν τήν βιοτικὴν
ἀποθώμεθα μέριμναν.
Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.
Και γίνεται η μεγάλη είσοδος.
[Όρθιοι οι πιστοί]
ὁ Διάκονος μετὰ των ιερέων ἐξέρχονται
ἐκ τῆς βορείας πύλης προπορευομένων θυμιατηρίου,
λαμπάδων καὶ εξαπτερύγων καὶ διέρχονται τὸ
ἀριστερὸν κλῖτος καὶ τὸ μέσον τοῦ Ναοῦ ποιοῦντες
τὴν Μεγάλην Εἴσοδον, τοῦ Διακόνου ἐκφωνοῦντος
μεγαλοφώνως:
ΔΙΑΚΟΝΟΣ:
Πάντων ὑμῶν, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ· πάντοτε· νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ:
Ἀμήν.
Προαιρετικά ο Ιερεύς μνημονεύει ζώντων και κεκοιμημένων.
Και εισέρχονται πάντες εις το Άγιον Βήμα του β΄ χορού ψάλλοντος

ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα.
[οι πιστοί μπορούν να καθίσουν]
ΔΙΑΚΟΝΟΣ
Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.
Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων...
Κύριε, ἐλέησον.
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου...

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς...

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν...

ΧΟΡΟΣ:

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν...

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν...

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα...

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν...

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν...

Παράσχου Κύριε.

Της παναγίας, ἀχράντου...

ΧΟΡΟΣ:

Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ...

ΧΟΡΟΣ:

Ἀμήν.

[Όρθιοι οι πιστοί]

ΙΕΡΕΥΣ

Εἰρήνη πᾶσι.

ΧΟΡΟΣ

Καὶ τῷ πνεύματί σου.

ΔΙΑΚΟΝΟΣ

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

ΧΟΡΟΣ

Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Εν συλλειτούργῳ αντί "Πατέρα, Υἱὸν... Ἀγαπήσω σε"

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου.

ΔΙΑΚΟΝΟΣ

Τὰς θύρας, τὰς θύρας. Ἐν σοφίᾳ πρόσχωμεν.

[Όρθιοι οι πιστοί]

ΧΟΡΟΣ

Πιστεύω εἰς ἕνα Θεόν Πατέρα, Παντοκράτορα,
ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.
Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ
τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα
πρὸ πάντων τῶν αἰώνων·
φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ
γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί,
δι' οὗ τὰ πάντα ἐγένετο.
Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ
τὴν ἡμετέραν σωτηρίαν κατελθόντα
ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου
καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.
Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου,
καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρα κατὰ τὰς Γραφάς.
Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ
καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.
Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι
ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.
Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον,
τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον,
τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ
συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.
Εἰς μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.
Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.
Προσδοκῶ ἀνάστασιν νεκρῶν.
Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

[2. Η Αγία Αναφορά]

[Όρθιοι οι πιστοί]

ΔΙΑΚΟΝΟΣ

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου...

ΧΟΡΟΣ

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

ΙΕΡΕΥΣ

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ...

ΧΟΡΟΣ

Καὶ μετὰ τοῦ πνεύματός σου.

ΙΕΡΕΥΣ

Ἄνω σχῶμεν τὰς καρδίας.

ΧΟΡΟΣ

Ἔχομεν πρὸς τὸν Κύριον.
ΙΕΡΕΥΣ
Εὐχαριστήσωμεν τῷ Κυρίῳ.
ΧΟΡΟΣ

Ἄξιον καὶ δίκαιον.
Ὁ Ἱερεύς κλινόμενος ἀπάρχεται τῆς ἁγίας Ἀναφορᾶς:
[Όρθιοι οι πιστοί]
Ὁ Ὢν, Δέσποτα, Κύριε Θεέ, Πάτερ Παντοκράτορ ...
ΙΕΡΕΥΣ
Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·
[Όρθιοι οι πιστοί]
ΧΟΡΟΣ

Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης
ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ
ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.
Ὁ δέ Ἱερεὺς κλινόμενος ἐπεύχεται·
Μετὰ τούτων τῶν μακαρίων δυνάμεων...
ΙΕΡΕΥΣ
Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς
καὶ Ἀποστόλοις, εἰπών· Λάβετε, φάγετε,
τοῦτό μού ἐστι τὸ σῶμα...
ΧΟΡΟΣ:

Ἀμήν.

Εἶτα ἐπευχόμενος λέγει ὁ Ἱερεύς:
Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας.
Καί λέγει ἐκφώνως:
Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών· Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου...
ΧΟΡΟΣ:

Ἀμήν.
Ὁ Ἱερεύς καί πάλιν κλινόμενος λέγει τήν εὐχήν:
Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ...
[Γονατιστοί οι πιστοί]
Νά, τι λέει ο άγιος Συμεών Θεσσαλονίκης, χωρίς να εξαιρεί την Κυριακή: "Και αυτόν δε τον εν τω ποτηρίω ζώντα άρτον μετά του αίματος μέχρις εδάφους ολοψύχως δει προσκυνείν"
Ἐκφώνως:
Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα.
[Γονατιστοί οι πιστοί]
ΧΟΡΟΣ

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.
ΙΕΡΕΥΣ
Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.
[Όρθιοι οι πιστοί]
ΧΟΡΟΣ

Στην Λειτουργία του Μεγάλου Βασιλείου
αντί του "Άξιον εστίν" ή άλλου μεγαλυναρίου,
ψάλλομε πάντοτε το "Ἐπι σοὶ χαίρει, Κεχαριτωμένη",
συνήθως σε ήχο πλ δ.

Ἐπι σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις.
Ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος,
ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν
καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη καὶ παιδίον γέγονεν,
ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν·
τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε,
καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο.
Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις δόξα σοι.

ΙΕΡΕΥΣ

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν...

ΔΙΑΚΟΝΟΣ

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

ΧΟΡΟΣ

Καὶ πάντων καὶ πασῶν.

ΙΕΡΕΥΣ

Καὶ δὸς ἡμῖν, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ...

ΧΟΡΟΣ:

Ἀμήν.

ΙΕΡΕΥΣ

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ...

ΧΟΡΟΣ

Καὶ μετὰ τοῦ πνεύματός σου.

[οι πιστοί μπορούν να καθίσουν]

ΔΙΑΚΟΝΟΣ

Πάντων τῶν ἁγίων μνημονεύσαντες...

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

ΔΙΑΚΟΝΟΣ

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων...

Κύριε, ἐλέησον.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν...

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς...

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν...

ΧΟΡΟΣ:

Παράσχου Κύριε.

ΔΙΑΚΟΝΟΣ

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν...

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν...

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν...

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν...

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν...

Παράσχου Κύριε.

Τὴν ἑνότητα τῆς πίστεως...

ΧΟΡΟΣ: Σοὶ Κύριε.

[Όρθιοι οι πιστοί]

ΙΕΡΕΥΣ

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας...

ΧΟΡΟΣ

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω
τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ
καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.
Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς
ἀπὸ τοῦ πονηροῦ.

ΙΕΡΕΥΣ

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις...

ΧΟΡΟΣ:

Ἀμήν.

[3. Η Θεία Κοινωνία των Πιστών]

[Όρθιοι οι πιστοί]

ΙΕΡΕΥΣ

Εἰρήνη πᾶσι.

ΧΟΡΟΣ

Καὶ τῷ πνεύματί σου.

ΔΙΑΚΟΝΟΣ

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

ΧΟΡΟΣ

Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Χάριτι καὶ οἰκτιρμοῖς...

ΧΟΡΟΣ:

Ἀμήν.

ΙΕΡΕΥΣ

Πρόσχες Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν...

ΔΙΑΚΟΝΟΣ

Πρόσχωμεν.

ΙΕΡΕΥΣ

Τὰ Ἅγια τοῖς ἁγίοις.

[Όρθιοι οι πιστοί]

ΧΟΡΟΣ

Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός,
εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Και ψάλλεται το Κοινωνικόν.

[οι πιστοί μπορούν να καθίσουν]

Το πως ψάλλεται το Κοινωνικόν,
το λέει ο Ιωάννης Χρυσόστομος:
«Όχι ιδρώνοντες να μεταποιήσωσι
δια προκρούστειων μουσικών μεθόδων
τας ολίγας λέξεις εις εκατονταπηχυαίον
ακατανόητον μουσούργημα, αλλ' επαναλαμβάνοντες
τον στίχον και πάλιν επαναλαμβάνοντες,
μέχρις ου εις την καρδίαν των καλώς χαραχθῆ.»
Τὸ κοινωνικὸν κατὰ τὴν ἀρχαίαν ἐποχὴν ἦτο ψαλμὸς
ὁλόκληρος, μεθ᾽ ἕκαστον στίχον τοῦ ὁποίου
ἐπανελαμβάνετο ὡς ἐφύμνιον εἷς χαρακτηριστικὸς στίχος
αὐτοῦ μετὰ τοῦ ᾽Αλληλούια·
Το κοινωνικὸν συνήθως ψάλλεται εἰς τὸν ἦχον
εἰς ὃν ἐψάλη καὶ τὸ Χερουβικόν.
Κοινωνικόν της εορτής.

[Ψαλμός 110].

Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. Ἀλληλούϊα.

[Όρθιοι οι πιστοί]
ΔΙΑΚΟΝΟΣ
(εκφώνως προς τον λαό)
Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.
ΧΟΡΟΣ:
Ἀμήν. Ἀμήν. Ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου.
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.
Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστοὺς ὁ χορὸς ψάλλει:

Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ
κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου
τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω,
καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι·
Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου.
ἤ τό:
Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.
Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.
ἤ συνεχίζει την ψαλμώδηση του Κοινωνικού.
Μετά τήν τῶν πιστῶν θείαν κοινωνίαν εὐλογεῖ
τόν λαόν ἐπιλέγων ἐκφώνως:
Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
[Όρθιοι οι πιστοί]
ΧΟΡΟΣ
Σε Δεσποτικὴ ἑορτὴ ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς»,
ψάλλεται τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.
Ἀπολυτίκιον Ἦχος δ'
Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ,
τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες,

ὑπὸ ἀστέρος ἐδιδάσκοντο· σὲ προσκυνεῖν,
τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν
ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.
ΙΕΡΕΥΣ
Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ:
Ἀμήν. Ἀμήν. Ἀμήν.
Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.
Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως Κύριε,
ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας
ἡμᾶς μετασχεῖν τῶν ἁγίων μυστηρίων σου ·
στήρηξον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν
μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα,
ἀλληλούϊα.
ΔΙΑΚΟΝΟΣ
Ὀρθοί.
Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων...
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον.
ΔΙΑΚΟΝΟΣ
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Κύριε, ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν...
Κύριε, ἐλέησον.
ΧΟΡΟΣ: Σοί Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν...
ΧΟΡΟΣ:
Ἀμήν.

ΙΕΡΕΥΣ

Ἐν εἰρήνῃ προέλθωμεν.

ΧΟΡΟΣ:

Ἐν ὀνόματι Κυρίου.

ΔΙΑΚΟΝΟΣ

Τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε ἐλέησον (γ΄) Πάτερ ἅγιε Εὐλόγησον.

[Όρθιοι οι πιστοί]

ΙΕΡΕΥΣ

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς Σε, Κύριε...

ΧΟΡΟΣ:

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ
νῦν καὶ ἕως τοῦ αἰῶνος. (γ΄)

ΔΙΑΚΟΝΟΣ

Τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε ἐλέησον.

ΙΕΡΕΥΣ

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς...

ΧΟΡΟΣ:

Ἀμήν.

ΙΕΡΕΥΣ

Δόξα σοι, ὁ Θεός ἡμῶν, δόξα σοι.

ΧΟΡΟΣ:

Δόξα Πατρί. Καὶ νῦν. Κύριε ἐλέησον (γ). Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ

(μεγάλη απόλυσις)

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθείς,
διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστός ὁ ἀληθινός Θεός ἡμῶν,
ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου
ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ
ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων
ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις
τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ
Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ
πανευφήμων Ἀποστόλων, τοῦ ἐν ἁγίοις πατρὸς
ἡμῶν Ιωάννου του Χρυσοστόμου, ου την θείαν
μυσταγωγίαν επετελέσαμεν, τῶν ἁγίων ἐνδόξων
καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων
Πατέρων ἡμῶν, (τοῦ Ἁγίου τοῦ Ναοῦ), τῶν ἁγίων καὶ
δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης,
καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμάς,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα ὁ Ἱερεύς, εὐλογῶν τὸν λαὸν, λέγει:
Ἡ Ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς.
ΧΟΡΟΣ:
Ἀμήν.
Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς,
Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.
ΙΕΡΕΥΣ
Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.
ΧΟΡΟΣ:
Ἀμήν.

Τέλος της Θείας Λειτουργίας

## ΕΙΔΗΣΙΣ

ΕΙΔΗΣΙΣ

Ἀπὸ σήμερον μέχρι καὶ τῆς δ΄ Ἰανουαρίου γίνεται κατάλυσις εἰς πάντα.